πλησθήσεσθε αὐτῶν, καὶ οὐ δώσω ὑμᾶς οὐκέτι εἰς ὀνειδισμὸν ἐν
20 τοῖς ἔθνεσι· [20]καὶ τὸν ἀπὸ βορρᾶ ἐκδιώξω ἀφ᾽ ὑμῶν καὶ ἐξώσω
αὐτὸν εἰς γῆν ἄνυδρον καὶ ἀφανιῶ τὸ πρόσωπον αὐτοῦ εἰς τὴν
θάλασσαν τὴν πρώτην καὶ τὰ ὀπίσω αὐτοῦ εἰς τὴν θάλασσαν τὴν
ἐσχάτην, καὶ ἀναβήσεται ἡ σαπρία αὐτοῦ, καὶ ἀναβήσεται ὁ βρόμος
21 αὐτοῦ, ὅτι ἐμεγάλυνεν τὰ ἔργα αὐτοῦ. [21]θάρσει, γῆ, χαῖρε καὶ εὐ-
22 φραίνου, ὅτι ἐμεγάλυνεν κύριος τοῦ ποιῆσαι. [22]θαρσεῖτε, κτήνη τοῦ
πεδίου, ὅτι βεβλάστηκεν πεδία τῆς ἐρήμου, ὅτι ξύλον ἤνεγκεν τὸν
23 καρπὸν αὐτοῦ, ἄμπελος καὶ συκῆ ἔδωκαν τὴν ἰσχὺν αὐτῶν. [23]καὶ
τὰ τέκνα Σιων, χαίρετε καὶ εὐφραίνεσθε ἐπὶ τῷ κυρίῳ θεῷ ὑμῶν,
διότι ἔδωκεν ὑμῖν τὰ βρώματα εἰς δικαιοσύνην καὶ βρέξει ὑμῖν
24 ὑετὸν πρόιμον καὶ ὄψιμον καθὼς ἔμπροσθεν, [24]καὶ πλησθήσονται
αἱ ἅλωνες σίτου, καὶ ὑπερεκχυθήσονται αἱ ληνοὶ οἴνου καὶ ἐλαίου.
25 [25]καὶ ἀνταποδώσω ὑμῖν ἀντὶ τῶν ἐτῶν, ὧν κατέφαγεν ἡ ἀκρὶς καὶ
ὁ βροῦχος καὶ ἡ ἐρυσίβη καὶ ἡ κάμπη, ἡ δύναμίς μου ἡ μεγάλη,
26 ἣν ἐξαπέστειλα εἰς ὑμᾶς· [26]καὶ φάγεσθε ἐσθίοντες καὶ ἐμπλησθή-
σεσθε καὶ αἰνέσετε τὸ ὄνομα κυρίου τοῦ θεοῦ ὑμῶν, ἃ ἐποίησεν
μεθ᾽ ὑμῶν εἰς θαυμάσια, καὶ οὐ μὴ καταισχυνθῇ ὁ λαός μου εἰς
27 τὸν αἰῶνα· [27]καὶ ἐπιγνώσεσθε ὅτι ἐν μέσῳ τοῦ Ισραηλ ἐγώ εἰμι,
καὶ ἐγὼ κύριος ὁ θεὸς ὑμῶν, καὶ οὐκ ἔστιν ἔτι πλὴν ἐμοῦ, καὶ
οὐ μὴ καταισχυνθῶσιν οὐκέτι πᾶς ὁ λαός μου εἰς τὸν αἰῶνα.
3 [1]Καὶ ἔσται μετὰ ταῦτα καὶ ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου ἐπὶ
πᾶσαν σάρκα, καὶ προφητεύσουσιν οἱ υἱοὶ ὑμῶν καὶ αἱ θυγατέρες
ὑμῶν, καὶ οἱ πρεσβύτεροι ὑμῶν ἐνύπνια ἐνυπνιασθήσονται, καὶ οἱ
2 νεανίσκοι ὑμῶν ὁράσεις ὄψονται· [2]καὶ ἐπὶ τοὺς δούλους καὶ ἐπὶ
τὰς δούλας ἐν ταῖς ἡμέραις ἐκείναις ἐκχεῶ ἀπὸ τοῦ πνεύματός
3 μου. [3]καὶ δώσω τέρατα ἐν τῷ οὐρανῷ καὶ ἐπὶ τῆς γῆς, αἷμα καὶ
4 πῦρ καὶ ἀτμίδα καπνοῦ· [4]ὁ ἥλιος μεταστραφήσεται εἰς σκότος
καὶ ἡ σελήνη εἰς αἷμα πρὶν ἐλθεῖν ἡμέραν κυρίου τὴν μεγάλην καὶ
5 ἐπιφανῆ. [5]καὶ ἔσται πᾶς, ὃς ἂν ἐπικαλέσηται τὸ ὄνομα κυρίου,
σωθήσεται· ὅτι ἐν τῷ ὄρει Σιων καὶ ἐν Ιερουσαλημ ἔσται ἀνα-
σῳζόμενος, καθότι εἶπεν κύριος, καὶ εὐαγγελιζόμενοι, οὓς κύριος
προσκέκληται.

20 η > BC | εμεγαλυνθη AQC || 22 πεδια BS*W] pr. τα AQ$S^c$LC | αμπελος .. συκη AQWL] tr. BSC || 23 διοτι] οτι $S^c$LC: cf. 1 || 24 πλησθησ.] pr. εμ A† | υπερεκχυθ. AQL] εκ > BSWC: cf. 4 13 || 25 ανταποδωσει B† | η δυν.] pr. και S*† | εις] εφ AQ || 26 του > A || 27 καταισχυνθωσιν BS*W†] -θη rel. | ουκετι πας AQW] ετι BSL (27>C)

3 1 και $2^0$ > AQ$S^c$W | ενυπνια] -νιοις AQ$S^c$: ex Act. 2 17 || 2 και $1^0$ BS*VW*LC†] + γε rel.: ex Act. 2 18 | δουλους S*VW†] + μου rel.: ex Act. 2 18 | δουλας BS*VW†] + μου rel.: ex Act. 2 18 || 3 ουρανω και] ουρ. ανω και σημ(ε)ια $S^c$: ex Act. 2 19 || 4 ημεραν] pr. την ALC: cf. 1 15 || 5 επικαληται S*† | εν $2^0$ > AW | ευαγγελιζομενοι] -νος $S^c$C, pr. οι W†